237 Γήλοφος: ὁ ὑψηλὸς τόπος. Δ

238 Γήμας: ὁ ἀνήρ. καὶ Γήμω· αἰτιατικῇ. Δ Synt.

239 Γῆμ' ἐπῆρε: γῆμαι ἀνέπεισε. κυρίως δὲ τὸ ἐπῆρεν, ἀντὶ τοῦ ἐχαύνωσε καὶ ἀνεκούφισεν, ἐπαγγελλομένη προῖκα μεγάλην εἰσοίσειν τὴν γυναῖκα, οἰκουρὸν φάσκουσα εἶναι, μὴ οὕτως ἐχούσης. Ἀριστοφάνης Νεφέλαις· ἥτις με γῆμ' ἐπῆρε τὴν μητέρα. Ar.

240 Γῆν ἰλλομένην: συγκεκλεισμένην καὶ περιειλημμένην. ἰλλάδες γὰρ οἱ δεσμοί. Σ

241 Γηών: ποταμός. Δ

242 Γηῶραι: ἐπίμικτοι, τηρηταὶ τόπων. Σ

243 Γήπαιδες: ὄνομα ἔθνους. Δ

244 Γήπεδον: τὸ χωρίον. ὥσπερ καὶ οἰκόπεδον, τὸ γῇ καὶ οἰκήμασιν ἀπαρτιζόμενον. Harp

245 Γηραλέα: ἡ γραῖα. καὶ Γηραλέος, ὁ γέρων. καὶ Γηραλέον, οὐδετέρως. νῦν γηραλέαι ἐναγκαλίζονται. Δ

246 Γηρᾶναι: γηρᾶσαι. καὶ παροιμία· Γηράσκω δ' αἰεὶ πολλὰ διδασκόμενος, ἐπὶ τῶν διὰ γῆρας ἐμπειροτέρων. Σ Prov.

247 Γηραιός: παλαιός, προβεβηκώς. ὁ δὲ γηραιός τε ὢν ἤδη καὶ ἐκ πλείστου ἄμφω τὼ πόδε πεπηρωμένος καὶ οἷος μὴ ἐφ' ἵππου ὀχεῖσθαι, ὅμως ὥσπερ τις νεανίας ῥωμαλεώτατος οὐκ ἀπηγόρευε πρὸς τοὺς πόνους, ἀλλὰ φοράδην εἰς τὰς παρατάξεις ἐφοίτα. E

248 Γήρειον: τόπος. καὶ Γήρειον ἔτος, τὸ παλαιόν. Δ|

249 Γηροτροφῶ. Δ

250 Γηρωβοσκῶ: γηροτροφῶ. Σοφοκλῆς· ὅπως γένηται γηροβοσκὸς εἰς ἀεὶ, μέχρις ἂν μυχοὺς κίχωσι τοῦ κάτω θεοῦ. Δ Soph.

251 Γηρωκομεῖον, Γηροτροφεῖον δέ. Δ

252 Γῆρυν: φωνήν. ἐν Ἐπιγράμμασι· σὺν καλάμοις ἄγγος τε μελανδόκον, οἷσι φυλάσσει αἰὼν ἐσσομένοις γῆρυν ἀποιχομένων. Σ Anth.

253 Γηρυόνεια δένδρα, καὶ Γηρυόνειον νῆμα. Δ

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id413865401/529 UNIVERSITÄT LEIPZIG